9 Απριλίου 2026

# Με επίκεντρο την παρουσία των Χριστιανών στην Αγία Γη το πασχαλινό μήνυμα του Πατριάρχη Ιεροσολύμων

/ Γενικά Θέματα



**Σε μια περίοδο έντονων προκλήσεων για την παρουσία των χριστιανών στη Μέση Ανατολή, το πασχαλινό μήνυμα του Μακαριωτάτου Πατριάρχη Ιεροσολύμων κ.κ. Θεοφίλου έχει μια ιδιαίτερη βαρύτητα και σημασία.**

Στο μήνυμα του Μακαριωτάτου, η Εκκλησία των Ιεροσολύμων προβάλλεται ως ζωντανή και αδιάλειπτη μαρτυρία του γεγονότος της Αναστάσεως, στον ίδιο τον τόπο όπου αυτή συντελέστηκε. Μέσα σε αυτό το πλαίσιο, η αναφορά στην ανάγκη παραμονής του ποιμνίου στους Αγίους Τόπους αποκτά χαρακτήρα ουσιαστικό και συμβολικό ταυτόχρονα, καθώς η φυσική παρουσία των πιστών καθίσταται φορέας

συνέχειας, ιστορικής μνήμης και πνευματικής μαρτυρίας, σε μια περιοχή όπου η ισορροπία παραμένει εύθραυστη.

**Αναλυτικά το μήνυμα του Μακαριωτάτου:**

«Χαίρετε λαοί καί ἀγαλλιᾶσθε,

ἄγγελος ἐκάθισεν εἰς τόν λίθον τοῦ μνήματος·

αὐτός ἡμᾶς εὐηγγελίσατο εἰπών,

Χριστός ἀνέστη ἐκ νεκρῶν,

ὁ Σωτήρ τοῦ κόσμου,

καί ἐπλήρωσε τά σύμπαντα εὐωδίας.»

(Στιχηρόν τῶν Αἴνων Κυριακῆς Β΄ ἤχου)

Ὄντως ἀληθῶς, κατά τήν «ἱεράν, σωτήριον καί φωταυγῆ νύκτα ταύτην», ἡ Ἐκκλησία βιώνει καί διαλαλεῖ τό ὑπερφυές μυστήριον τῆς τοῦ Χριστοῦ ἁγίας Ἀναστάσεως. Ὁ μονογενής Υἱός καί Λόγος τοῦ Θεοῦ, «ὁ ἐν ἀρχῇ Λόγος» (Ἰωάν. 1,1), ὁ Ἐνανθρωπήσας καί «σχήματι εὑρεθείς ὡς ἄνθρωπος» (Φιλ. 2, 7), «διελθών εὐεργετῶν καί ἰώμενος» (Πράξ. 10, 38), ἐσταυρώθη καί ἑκών ἐτάφη. «Οἱ παῖδες τῶν σεσωσμένων» ἐσφράγισαν τόν τάφον Αὐτοῦ μετά τῆς κουστωδίας, νομίσαντες ὅτι ἐξήλειψαν τό μνημόσυνον αὐτοῦ· μάταιοι ὅμως ἀπεδείχθησαν, καθ̓ ὅτι «Κύριος διασκεδάζει βουλάς ἐθνῶν καί ἀθετεῖ βουλάς ἀρχόντων», (Ψαλμ. 32, 10).

Ὁ Ἅδης ὁ παμφάγος ὡσαύτως ἠπατήθη· ἐνόμισεν ὅτι προσέλαβε θνητόν «καί Θεῷ περιέτυχε». Εἰ καί «ἐξ ἀσθενείας ἐσταυρώθη», (Β΄ Κορ. 13, 4) χάριν ἡμῶν, ὁ Χριστός, ὤν «Λόγος ζῶν καί Θεός ἀληθινός», ἐνίκησε τόν θάνατον, συνέτριψε μοχλούς αἰωνίους, ἀνέστη καί «ζῇ ἐκ δυνάμεως Θεοῦ» (Β΄ Κορ. 13, 4), ἐλευθερώσας τούς ἀπ’ αἰῶνος πεπεδημένους κατόχους τοῦ Ἅδου καί εἰσαγαγών αὐτούς εἰς τόν Παράδεισον. «Ὁ Θάνατος φροῦδος ὤφθη, ζωῆς ἀνέτειλεν αὐγή».

Πεῖραν τῆς Ἀναστάσεως ἔλαβον πρῶται αἱ μυροφόροι γυναῖκες, αἵτινες «λίαν πρωΐ» ἦλθον εἰς τό μνημεῖον καί ἤκουσαν παρά τοῦ ἀγγέλου· «μή ἐκθαμβεῖσθε… ἠγέρθη, οὐκ ἔστιν ὧδε» (Μάρκ. 16, 6). Ὁ δέ Ἀναστάς Κύριος ὑπήντησεν αὐταῖς λέγων «χαίρετε» (Ματθ. 28, 9). Ὡσαύτως ἐνεφανίσθη εἰς τούς Ἀποστόλους λέγων «εἰρήνη ὑμῖν», δεικνύων τόν τύπον τῶν ἥλων καί ἐμφυσῶν αὐτοῖς Πνεῦμα Ἅγιον (Ἰωάν. 20, 19-28). Ἐνεφανίσθη αὐτοῖς «ἐν πολλοῖς τεκμηρίοις» (Πράξ. 1, 3) ἕως καί τήν τεσσαρακοστήν ἀπό τῆς Ἀναστάσεως ἡμέραν, ὅτε «βλεπόντων αὐτῶν ἐπήρθη καί νεφέλη ὑπέλαβεν Αὐτόν» (Πράξ. 1, 9), ἀνελήφθη εἰς τόν οὐρανόν καί ἐκάθισεν

ἐκ δεξιῶν τοῦ Πατρός. Ἡ ἐκ δεξιῶν καθέδρα τοῦ Χριστοῦ ἀποτελεῖ τήν δόξαν Αὐτοῦ καί τήν δόξαν τοῦ ἀνθρώπου, διότι τό ἀνθρώπινον «πρόσλημμα» ἀνεβιβάσθη εἰς τὸν οὐρανόν.

Κατά τόν Ἀπόστολον Παῦλον, «Χριστός ἐγήγερται ἐκ νεκρῶν» (Α΄ Κορ. 15, 20), καί διά τοῦτο τό γεγονός τῆς Ἀναστάσεως οὐκ ἀποτελεῖ ψιλήν ἀνάμνησιν παρελθόντος, ἀλλά ὑφίσταται ὡς ζῶσα καί ἐνεργός πραγματικότης, ἡ ὁποία ἑδράζεται εἰς τήν μυστικήν δύναμιν τοῦ Σταυροῦ· «ὁ λόγος ὁ τοῦ σταυροῦ… δύναμις Θεοῦ ἐστι» (Α΄ Κορ. 1,18). Ἐν τῇ σταυρικῇ θυσίᾳ καί τῇ ἀναστασίμῳ νίκῃ, ὁ Χριστός κατήργησε τό κράτος τοῦ θανάτου καί ἐχαρίσατο τῷ ἀνθρώπῳ τήν προοπτικήν τῆς καινῆς ζωῆς, «ἵνα καί ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν» (Ρωμ. 6, 4). Ὁ δέ θεῖος Κύριλλος Ἀλεξανδρείας διδάσκει ὅτι διά τῆς Ἀναστάσεως ἀνεκαινίσθη ἡ ἀνθρωπίνη φύσις καί ἐνεδύθη τήν ἀφθαρσίαν, καθ’ ὅτι ὁ ζωοποιός Λόγος ἐνίκησε τήν φθοράν καί ἀνέδειξεν ἡμᾶς μετόχους τῆς θείας ζωῆς.

Ἀπό θρόνου δόξης τῆς Ἁγίας Τριάδος ἀπέστειλε ὁ Χριστός τό Πνεῦμα Αὐτοῦ τό Ἅγιον καί ἐθεμελίωσε τήν Ἐκκλησίαν, ἥτις συνεχίζει τό σωτήριον ἔργον Αὐτοῦ, ἀντιπαλαίουσα τάς δυνάμεις τοῦ κακοῦ καί κηρύττουσα εἰρήνην καί δικαιοσύνην τοῖς μακράν καί τοῖς ἐγγύς.

Ἡ Ἐκκλησία Ἱεροσολύμων, μετά τοῦ εὐσεβοῦς αὐτῆς ποιμνίου, ἀποτελεῖ τήν ἀδιάψευστον καί ζῶσαν μαρτυρίαν τοῦ μυστηρίου τῆς Ἀναστάσεως, τῆς τελειώσεως δηλονότι τῆς θείας οἰκονομίας. Ἐνωτίζεται δέ ἀδιαλείπτως τό Κυριακόν παράγγελμα· «ἰδού ἐγώ μεθ’ ὑμῶν εἰμι πάσας τάς ἡμέρας» (Ματθ. 28, 20), οὐχί ὡς ἀνάμνησιν παρελθούσης τινός πραγματικότητος ἀλλά ὡς ζώσης καί ἐνεργοῦς παρουσίας, ὑπερβαινούσης χρόνους καί καιρούς καί τά ἀνθρώπινα ὅρια καί τούς φυσικούς νόμους. Διότι ὁ Χριστός, καθώς μαρτυρεῖ ὁ Ἅγιος Ἰωάννης ὁ Δαμασκηνός, «τήν προσληφθεῖσαν φύσιν» ἡμῶν, ἐκ τῶν ἁγνῶν αἱμάτων τῆς ἀειπαρθένου Μαρίας, συν-ἀνέστησε ἐν τῇ θείᾳ αὐτοῦ ὑποστάσει. Τοῦτο σημαίνει ὅτι ἡ Ἀνάστασις τοῦ Χριστοῦ ὑποδηλοῖ τήν βεβαίαν ἐγγύησιν τῆς αἰωνίου ζωῆς (πρβλ. Α΄ Κορ. 15, 20-22), τοὐτέστιν τῆς Βασιλείας τοῦ Θεοῦ, ἐν ᾗ «θάνατος οὐκέτι κυριεύει» (Ρωμ. 6,9), ἀλλά ἡ ζωή θριαμβεύει εἰς τούς αἰῶνας. Εἰσακούουσα δέ τούς λόγους τοῦ Κυρίου «μή φοβοῦ τό μικρόν ποίμνιον» (Λουκ. 12, 32), καλεῖ τό ποίμνιον αὐτῆς εἰς ὅλην τήν δικαιοδοσίαν αὐτῆς εἰς Ἰσραήλ, Παλαιστινιακόν Κράτος, Ἰορδανίαν καί Κατάρ, νά παραμένῃ εἰς τήν προγονικήν κοιτίδα αὐτοῦ τῆς Ἁγίας Γῆς, ὥστε νά ἐπαληθεύηται ἡ ρῆσις τοῦ Ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ «ἆρον κύκλῳ τούς ὀφθαλμούς σου, Ἱερουσαλήμ καί ἴδε· ἰδού γάρ ἥκασί σοι, θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ δυσμῶν καί βορρᾶ, καί θαλάσσης καί ἑῴας τά τέκνα σου, ὑμνοῦντα τόν Ἀναστάντα Χριστόν εἰς τούς αἰῶνας».

Ἐν τῇ Ἁγίᾳ Πόλει Ἱερουσαλήμ, ΠΑΣΧΑ 2026

Μετά Πατρικῶν εὐχῶν καί Πατριαρχικῶν εὐλογιῶν,

Διάπυρος πρός Κύριον Εὐχέτης,

**ΘΕΟΦΙΛΟΣ Γ΄**

**Πατριάρχης Ἱεροσολύμων**